# TEZAUR LITURGIC

**1 SEPTEMBRIE**

**NIKODIMOS AERAKIS**

# SLUJBA SF.MUCENIC ANGHEL DE LA CONSTANTINOPOL

**ATENA,2010**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 01 ΣΕΠΤΕΜΒΡΙΟΥ

# ΜΝΗΜΗ ΤΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟς ΑΓΓΕΛΗ ΤΟΥ ΧΡΥΣΟΧΟΟΥ

# ΑΚΟΛΟΥΘΙΑ

## Ποίημα Ἀρχιμανδρίτου Νικοδήμου Ἀεράκη

### ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Εις το· Κύριε εκέκραξα, ιστώμεν στίχους δ’, και ψάλλομεν τα εξής Στιχηρά Προσόμοια.

Ήχος α’ . Των ουρανίων ταγμάτων.

Ομολογίας αγίας λαμπρόν υπόδειγμα, και Αθλητών εδείχθης, Αγγελή μέγα κλέος, πίστεως αγίας φύλαξ στερρός, Ορθοδόξων δε καύχημα, Νεομαρτύρων ακρόπολις θαυμαστή, και Μαρτύρων ακροθίνιον.

Αγαρηνών αθεότητα και δυσσέβειαν, εν παρρησία Μάρτυς, απελέγχεις γενναίως, Λόγον δε κηρύττεις λόγοις θερμοίς, ως Σωτήρα και Κύριον, αναδειχθείς στεφανίτης εν ετασμοίς, Αγγελή θεομακάριστε.

Νεομαρτύρων συ πέλεις το εγκαλλώπισμα, των Ορθοδόξων κλέος, αθλουμένων προστάτης, στύλος Εκκλησίας τύπος πιστών, Αθλητών το αγλάϊσμα, διωκομένων πανθαύμαστος βοηθός, Αγγελή Μαρτύρων έρεισμα.

Των Ορθοδόξων την πίστιν λαμπρώς ετράνωσας, ομολογία θεία, και αθλήσει γενναία, Μάρτυς του Κυρίου πανευκλεές, Αγγελή θεοφρούρητε, καταβαλών των αθέων Αγαρηνών, δυσσεβείας αθεότητα.

Δόξα. Ήχος β' .

Δεύτε των φιλομαρτύρων ο σύλλογος, δεύτε την του Νεομάρτυρος Αγγελή μνήμην, ύμνοις εγκωμίων καταστέψωμεν. Ούτος γαρ την των Αγαρηνών δυσσέβειαν και αθεότητα απέλεγξας, τον σαρκωθέντα Λόγον εν παρρησία ως Θεόν και Κύριον ευθαρσώς εκήρυξεν, όθεν μαρτυρικού τέλους αξιωθείς, εις τα ουράνια σκηνώματα αιωνίως εν χαρά σαββατίζει.

Και νυν. Θεοτοκίον. Ο αυτός.

Την πάσαν ελπίδα μου εις Σε ανατίθημι, Μήτερ του Θεού, φύλαξόν με υπό την σκέπην Σου.

Εις τον Στίχον. Ήχος β' . Οίκος του Εφραθά.

Πάντες τον Αγγελή, τιμήσωμεν εν ύμνοις, και εγκωμίοις θείοις, ως Μάρτυρα Κυρίου, στεφανηφόρον ένδοξον.

Στ.: Θαυμαστός ο Θεός εν τοις Αγίοις Αυτού.

Αίματι Αγγελής, εστήριξε την πίστιν, του δουλωθέντος γένους, κηρύττων της Τριάδος, το κράτος το ανείκαστον.

Στ.: Τοις Αγίοις τοις εν τη γη Αυτού, εθαυμάστωσεν ο Κύριος.

Χαίρει εν ουρανοίς, χορεία Πρωτοτόκων, τον Αγγελήν ορώσα, στεφόμενον εν δόξη, ως Μάρτυρα της πίστεως.

Δόξα. Τριαδικόν.

Κύριε του παντός, Τριας Μονάς Αγία, του Αγγελή πρεσβείαις, ειρήνευσον τον κόσμον, και σώσον τας ψυχάς ημών.

Και νυν. Θεοτοκίον.

Πάναγνε Μαριάμ, Κυρία Θεοτόκε, ταις προς Χριστόν λιταίς Σου, χαρίτωσον εν έργοις, και λόγοις τους υμνούντάς Σε.

Νυν απολύεις. Τρισάγιον.

Απολυτίκιον. Ήχος πλ. α' . Τον συνάναρχον Λόγον.

Αγγελήν χρυσοχόον τον Νεομάρτυρα, εν μαρτυρίου καμίνω δοκιμασθέντα δεινώς, ανυμνήσωμεν πιστοί και εκβοήσωμεν· χαίρε χρυσίον καθαρόν, και χρυσολόγε του Χριστού, εν μέσω των δυσσεβούντων, διδάσκων εν παρρησία, την εκ του Λόγου σωτηρίαν βροτών.

Δόξα... Και νυν ... Θεοτοκίον

Χαίρε πύλη Κυρίου η αδιόδευτος, χαίρε τείχος και σκέπη των προστρεχόντων εις σε, χαίρε αχείμαστε λιμήν και Απειρόγαμε, η τεκούσα εν σαρκί τον Ποιητήν σου και Θεόν, πρεσβεύουσα μη ελλείπης, υπέρ των ανυμνούντων, και προσκυνούντων τον Τόκον σου.

Απόλυσις.

# ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Μετά τον Προοιμιακόν, στιχολογούμεν το· Μακάριος ανήρ. Εις δε το· Κύριε εκέκραξα, ιστώμεν στίχους στ' , και ψάλλομεν Στιχηρά Προσόμοια. Ήχος δ' . Έδωκας σημείωσιν.

Δεύτε φιλομάρτυρες, τον Νεομάρτυρα στέψωμεν, Αγγελήν τον θεόφρονα, εν λόγοις και άσμασιν, εγκωμίων θείων, ούτος γαρ εμφρόνως, ομολογία ακλινεί, Χριστόν Θεάνθρωπον ανεκήρυξε, και πλάνης την δυσσέβειαν, τω μαρτυρίω κατήσχυνε, τη δυνάμει του Πνεύματος, των Μαρτύρων το καύχημα. (Δις)

Κόσμου ηδυπάθειαν, και αγαθών την αυτάρκειαν, απηρνήθη ο ένδοξος, συζύγου υπόδειξιν, και κλαυθμόν καρδίας, εν λόγοις ενθέοις, όντως ενίκησε λαμπρώς, διακηρύσσων Χριστού την πρόνοιαν, διο και κατηξίωται, σαββατισμού αιωνίζοντος, Αγγελής ο θαυμάσιος, Νεομάρτυς καλλίνικος. (Δις)

Ύμνοις καταστέψωμεν, των χρυσοχόων το καύχημα, Αγγελήν τον περίδοξον, Χριστού το εκτύπωμα, εν εσχάτοις χρόνοις, ούτος γαρ εισήλθεν, ως ο χρυσός εν τω πυρί, του μαρτυρίου δια τον Κύριον, νικήσας τα φρυάγματα, Αγαρηνών και ωμότητα, τη ισχύϊ του Πνεύματος, ο αδάμας της πίστεως. (Δις)

Δόξα. Ήχος πλ. β' .

Σήμερον, των φιλομαρτύρων ο δήμος, και των χρυσοχόων ο σύλλογος, εν πνευματική αγαλλιάσει και ανεκλαλήτω χαρά, την του Νεομάρτυρος Αγγελή πάνσεπτον μνήμην, εν ύμνοις τιμώντες λέγουσιν· Χαίροις των πάλαι Μαρτύρων ισοστάσιε και των

αθλουμένων τέλειον υπόδειγμα· χαίροις, ο του χρυσού επιμεληθείς, και ως χρυσός εν τω των ετασμών χωνευτηρίω δοκιμασθείς· χαίροις, ο της Τριάδος την πίστιν ομολογήσας, και την των Αγαρηνών αθεότητα καταισχύνας. Και νυν εν ουρανοίς αυλιζόμενος, πρέσβευε Νεομάρτυς Αγγελή, υπέρ των ψυχών ημών.

Και νυν. Της ινδίκτου. Ήχος πλ. β΄. Βυζαντίου.

Ο Πνεύματι αγίω συνημμένος, άναρχε Λογε και Υιε, ο πάντων ορατών και αοράτων συμπαντουργός και συνδημιουργός, τον στέφανον του ενιαυτού ευλόγησον, φυλάττων εν ειρήνη των ορθοδόξων τα πλήθη, πρεσβείαις της θεοτόκου και πάντων των αγίων σου.

Είσοδος, Φως ιλαρόν, το προκείμενον της ημέρας και τα αναγνώσματα

Προφητείας Ησαΐου το ανάγνωσμα (61,1-10)

Πνεύμα Κυρίου επ ἐμέ, ου ένεκεν έχρισέ με, ευαγγελίσασθαι πτωχοίς απέσταλκέ με, ιάσασθαι τους συντετριμμένους την καρδίαν, κηρύξαι αιχμαλώτοις άφεσιν, και τυφλοίς ανάβλεψιν· καλέσαι ενιαυτόν Κυρίου δεκτόν, και ημέραν ανταποδόσεως τω Θεώ ημών, παρακαλέσαι πάντας τους πενθούντας, δοθήναι τοις πενθούσι Σιών δόξαν αντί σποδού· άλειμμα ευφροσύνης τοις πενθούσι, καταστολήν δόξης, αντί πνεύματος ακηδίας, και κληθήσονται γενεά, δικαιοσύνης, φύτευμα Κυρίου εις δόξαν. Και οικοδομήσουσιν ερήμους αιωνίους, εξηρημωμένας το πρότερον· εξαναστήσονται, και ανακαινιούσι πόλεις ερήμους, εξηρημωμένας

από γενεάς εις γενεάν. Και ήξουσιν αλλογενείς ποιμαίνοντες τα πρόβατά σου, και αλλόφυλοι αροτήρες, και αμπελουργοί υμών. Υμείς δε ιερείς Κυρίου κληθήσεσθε, λειτουργοί Θεού ημών. Ρηθήσεται υμίν· ισχύν εθνών κατέδεσθε, και εν τω πλούτω αυτών θαυμασθήσεσθε, αντι της αισχύνης υμών της διπλής, και αντί της εντροπής, αγαλλιάσεται η μερίς αυτών. Δια τούτο την γην αυτών εκ δευτέρου κληρονομήσουσι, και ευφροσύνη αιώνιος υπέρ κεφαλής αυτών. Εγώ γαρ ειμι Κυριος, αγαπών δικαιοσύνην και μισών αρπάγματα εξ αδικίας· και δώσω τον μόχθον αυτών δικαίοις, και διαθήκην αιώνιον διαθήσομαι αυτοίς. Και γνωσθήσεται εν τοις έθνεσι το σπέρμα αυτών, και τα έκγονα αυτών εν μέσω των λαών· και ο ορών αυτούς, επιγνώσεται αυτούς, ότι ούτοί εισι σπέρμα ευλογημένον εις τους αιώνας υπό Θεού, και ευφροσύνη ευφρανθήσονται επί Κυριον.

Λευϊτικού το ανάγνωσμα (26,3-10 και εκλογή)

Ελάλησε Κυριος τοις υιοίς Ισραήλ, λέγων· Εάν τοις προστάγμασί μου πορεύησθε, και τας εντολάς μου φυλάσσησθε, και ποιήτε αυτάς, δώσω τον υετόν εν καιρώ αυτού, και η γη δώσει τα γεννήματα αυτής, και τα ξύλα των πεδίων αποδώσει τον καρπόν αυτών, και καταλήψεται υμίν ο αλοητός τον τρυγητόν, και ο τρυγητός καταλήψεται τον σπόρον. Και φάγεσθε τον άρτον υμών εις πλησμονήν, και κατοικήσετε μετά ασφαλείας επί της γης υμών, και ουκ έσται υμάς ο εκφοβών· και απολώ θηρία εκ της γης υμών, και πόλεμος ου διελεύσεται δια της γης υμών, και πεσούνται οι

εχθροί υμών ενώπιον υμών, και διώξονται εξ υμών πέντε εκατόν, και εκατόν υμών διώξονται μυριάδας. Και επιβλέψω εφ ὑμᾶς, και ευλογήσω υμάς, και αυξανώ υμάς, και πληθυνώ υμάς, και στήσω την διαθήκην μου μεθ ὑμῶν. Και φάγεσθε παλαιά, και παλαιά παλαιών, και παλαιά εκ προσώπου νέων εξοίσετε. Και ου βδελύξεται η ψυχή μου υμάς, και εμπεριπατήσω εν υμίν, και έσομαι υμών Θεός, και υμείς έσεσθέ μοι λαός. Εάν δε μη εισακούσητέ μου, μηδέ ποιήσητε τα προστάγματά μου ταύτα, αλλά απειθήσητε αυτοίς, και τοις κρίμασί μου προσοχθήση η ψυχή υμών, ως τε υμάς μη ποιείν πάσας τας εντολάς μου, και εγώ ποιήσω ούτως υμίν. Επιστήσω εφ ὑμᾶς την απορίαν, και σπερείτε διακενής τα σπέρματα υμών, και έδονται τους πόνους υμών οι υπεναντίοι υμών. Και επιστήσω το πρόσωπόν μου εφ ὑμᾶς, και πεσείσθε εναντίον των εχθρών υμών, και διώξονται υμάς, και φεύξεσθε ουδενός διώκοντος υμάς· και συντρίψω την ύβριν της υπερηφανίας υμών· και θήσω τον ουρανόν υμίν ως σιδηρούν, και την γην ωσεί χαλκήν. Και έσται εις κενόν η ισχύς υμών, και η γη υμών ου δώσει τον σπόρον αυτής, και τα ξύλα του αγρού ου δώσει τον καρπόν αυτών. Και αποστελώ εφ ὑμᾶς τα θηρία τα άγρια της γης, και εξαναλώσει τα κτήνη υμών, και ολιγοστούς ποιήσει υμάς επιπορευομένη μάχαιρα. Και έσται η γη υμών έρημος και αι επαύλεις υμών έσονται έρημοι· ότι υμείς επορεύθητε προς με πλάγιοι, καγώ πορεύσομαι προς υμάς εν θυμώ πλαγίω· λέγει Κυριος ο Θεός, ο άγιος Ισραήλ.

Σοφίας Σολομώντος το ανάγνωσμα. (Κεφ. ζ΄.7)

Δίκαιος, εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται. Γήρας γαρ τίμιον ου το πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δε εστι φρόνησις ανθρώποις, και ηλικία γήρως βίος ακηλίδωτος. Ευάρεστος Θεώ γενόμενος, ηγαπήθη· και ζων μεταξύ αμαρτωλών, μετετέθη. Ηρπάγη, μη κακία αλλάξη σύνεσιν αυτού, η δόλος απατήση ψυχήν αυτού· βασκανία γαρ φαυλότητος αμαυροί τα καλά, και ρεμβασμός επιθυμίας μεταλλεύει νουν άκακον. Τελειωθείς εν ολίγω, επλήρωσε χρόνους μακρούς· αρεστή γαρ ην Κυρίω η ψυχή αυτού· δια τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δε λαοί ιδόντες και μη νοήσαντες, μηδέ θέντες επί διανοία το τοιούτον, ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Λιτή. Ήχος α’ .

Πανήγυριν πνευματικήν, και εορτήν θεόσδοτον, η μήτηρ ημών Ορθόδοξος Εκκλησία, επί τη μνήμη του Νεομάρτυρος Αγγελή επιτελούσα, πάντας συγκαλεί εν ευφροσύνη τους πιστούς, πανηγυρίσαι και βοήσαι προς αυτόν· Χαίροις, Αθλοφόρε του Χριστού, ο κατανοήσας τον του Πνεύματος λόγον: Τω νικώντι δώσω αυτώ φαγείν εκ του ξύλου της ζωής, ο εστιν εν τω Παραδείσω του Θεού· ου της τρυφής και γλυκύτητος, εισελθών νικηφόρος εις την άνω Σιών, μετά πάντων των Αγίων απολαύεις αιωνίως.

Ήχος β’ .

Δεύτε, των φιλομαρτύρων χορεία, την του Νεομάρτυρος Αγγελή πανσέβαστον μνήμην, ύμνοις εγκωμίων τιμήσωμεν. Ούτος γαρ έχων ευήκοον πνευματικόν ους, ήκουσε και κατενόησε τον της Αποκαλύψεως λόγον: Ο νικών ου μη αδικηθή εκ του θανάτου του δευτέρου. Δι’ ο προθύμως δια Χριστόν, ως πρόβατον ετύθη, καταξιωθείς χαράς ανεκλαλήτου, και της αιωνίου ζωής.

Ήχος γ’ .

Σκιρτώντες εν Πνεύματι, δεύτε πιστοί τον Νεομάρτυρα Αγγελήν, εν εγκωμίοις καταστέψωμεν. Ούτος γαρ τον ουράνιον Άρτον θερμώς αγαπήσας, Χριστόν τον Θεόν, και υπέρ Αυτού ανδρείως αθλήσας και μαρτυρήσας, εστεμμένος εισήλθεν εις την των ουρανών Βασιλείαν, μεταλαμβάνων του μάννα του κεκρυμμένου, φέρων εν χερσίν ψήφον λευκήν, εν η αναγινώσκει το καινόν όνομα, ο έδωκεν αυτώ ο Κύριος.

Ήχος δ’ .

Η ουράνιος Ιερουσαλήμ, επί Σοι Νεομάρτυς Αγγελή χαίρει, εν τη τάξει των Μαρτύρων καθορώσά σε, δια στέφους φωτεινού εστεμμένον, ενδόξως γαρ νικήσας εν τη στρατευομένη Εκκλησία, εν τη θριαμβευούση επαγάλλη, εν ιματίοις λευκοίς περιβεβλημένος, ως εγγεγραμμένος ανεξαλείπτως, εν τω της αιωνίου ζωής βιβλίω, δια της του αθλοθέτου Χριστού, ενώπιον του εν ουρανοίς Πατρός Αυτού, και των Αγίων Αγγέλων ομολογίας, ότι

υπέρ Αυτού την κεφαλήν απετμήθης. Αυτώ πρέσβευε δεόμεθα, υπέρ των τιμώντων σε.

Δόξα. Ήχος πλ. α' .

Δεύτε φιλομάρτυρες αδελφοί, θαύμα κατίδωμεν εξαίσιον και εξάκουστον· ο ταπεινός χρυσοχόος Αγγελής, τα του βελίαρ ένεδρα κατανικήσας, και τας των αθέων Αγαρηνών απειλάς μη πτήξας, δια του μαρτυρίου εις την άνω Σιών εισήλθεν, όθεν ως ο αγωνοθέτης Χριστός, τον αντίδικον ημών νικήσας, μετά του Πατρός Αυτού εκάθισεν εν τω θρόνω Αυτού, ούτω και τον Νεομάρτυρα Αγγελήν, νικήσαντα εν τη γη, εκάθισεν εν τω ιδίω θρόνω εν ουρανοίς. Αυτού της δόξης και μακαριότητος, τω ελέει του Θεανθρώπου Κυρίου, και ημείς τύχοιμεν.

Και νυν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, και δοξάζομέν σε οι πιστοί κατά χρέος, την πόλιν την άσειστον, το τείχος, το άρρηκτον, την αρραγή προστασίαν, και καταφυγήν των ψυχών ημών.

Εις τον Στίχον. Ήχος πλ. α' . Χαίροις ασκητικώς.

Χαίροις, Νεομαρτύρων φωστήρ, των χρυσοχόων υπερθαύμαστον κόσμημα, της πίστεως ορθοδόξων, παναληθής εδρασμός, και ομολογίας εγκαλλώπισμα, της πλάνης αντίπαλος, αθεότητος φόβητρον, Αγαρηνών τε, νικητής θεοτίμητος, και εξαίσιος, θείου έρωτος πρόβολος, όθεν την σην πανήγυριν, τελούντες πανένδοξε, ύμνους ενθέους και λόγους, ω Αγγελή σοι προσφέρομεν, λαβείν εξαιτούντες, σαις λιταίς προς τον Σωτήρα το μέγα έλεος.

Στ.: Θαυμαστός ο Θεός εν τοις Αγίοις Αυτού.

Χαίροις, της αρετής ο κανών, των ομοτέχνων χρυσοχόων κειμήλιον, η βάσις ομολογίας, και των Μαρτύρων Χριστού, εν εσχάτοις χρόνοις το υπόδειγμα, συζύγων ο πρόβολος, και γονέων το πρότυπον, των εν ανάγκαις, υπερθαύμαστον άγαλμα, και κραταίωμα, ελπιζόντων προς Κύριον, όθεν θεοχαρίτωτε, τιμώντες σην άθλησιν, ύμνοις και λόγοις ενθέοις, φιλανθρωπίας αιτούμεθα, τυχείν σαις πρεσβείαις, και τω κόσμω δωρηθήναι το μέγα έλεος.

Στ.: Τοις Αγίοις τοις εν τη γη Αυτού, εθαυμάστωσεν ο Κύριος.

Χαίροις, χειμαζομένων λιμήν, εταζομένων ακραιφνές ακροθίνιον, Χριστού της ελευθερίας, και της ελπίδος Αυτού, αληθής διδάσκαλος εν τοις πράγμασιν, πιστών το κραταίωμα, ορθοδόξων το καύχημα, Αγαρηνών τε, καταισχύνης ο πρόξενος, αθεότητος, νικητής ο πανένδοξος, όθεν ταις προς τον Κύριον, λιταίς σου αιτούμεθα, Μάρτυς κλεινέ της Τριάδος, ω Αγγελή θεοτίμητε, λαβείν την ειρήνην, και ψυχών την σωτηρίαν και μέγα έλεος.

Δόξα. Ήχος πλ. β’ .

Σήμερον, των φιλομαρτύρων ο δήμος, εν σκιρτώση καρδία, και πνευματική αγαλλιάσει, την του Νεομάρτυρος Αγγελή μνήμην, μεθ’ ύμνων ενθεαστικών πανευκλεώς επιτελεί· ούτος γαρ εν εσχάτοις χρόνοις, το του Τρισαγίου Κυρίου, πανένδοξον Όνομα εβάστασεν, ενώπιον δυσσεβών Αγαρηνών, και μετά παρρησίας την τούτων αθεότητα γενναίως ήλεγξεν, όθεν την κάραν αποτμηθείς,

της των ουρανών Βασιλείας τα δώματα κατέλαβε, πρεσβεύων απαύστως υπέρ των τιμώντων την μνήμην αυτού την πανίερον.

Και νυν. Θεοτοκίον

Ο ποιητής και λυτρωτής μου Πάναγνε, Χριστός ο Κύριος, εκ της σης νηδύος προελθών, εμέ ενδυσάμενος, της πρώην κατάρας, τον Αδάμ ηλευθέρωσε· διο σοι Πάναγνε, ως του Θεού Μητρί τε και Παρθένω αληθώς, βοώμεν ασιγήτως, το Χαίρε του Αγγέλου. Χαίρε Δέσποινα, προστασία και σκέπη, και σωτηρία των ψυχών ημών.

Νυν απολύεις. Τρισάγιον.

Απολυτίκιον. Ήχος πλ. α' . Τον συνάναρχον Λόγον.

Αγγελήν χρυσοχόον τον Νεομάρτυρα, εν μαρτυρίου καμίνω δοκιμασθέντα δεινώς, ανυμνήσωμεν πιστοί και εκβοήσωμεν· χαίρε χρυσίον καθαρόν, και χρυσολόγε του Χριστού, εν μέσω των δυσσεβούντων, διδάσκων εν παρρησία, την εκ του Λόγου σωτηρίαν βροτών.

Δόξα... Και νυν ... Θεοτοκίον

Χαίρε πύλη Κυρίου η αδιόδευτος, χαίρε τείχος και σκέπη των προστρεχόντων εις σε, χαίρε αχείμαστε λιμήν και Απειρόγαμε, η τεκούσα εν σαρκί τον Ποιητήν σου και Θεόν, πρεσβεύουσα μη ελλείπης, υπέρ των ανυμνούντων, και προσκυνούντων τον Τόκον σου.

Απόλυσις.

## ΟΡΘΡΟΣ

Μετά την α' στιχολογίαν,

κάθισμα. Ήχος πλ. α' . Τον συνάναρχον Λόγον.

Νεομάρτυρα πάντες ανευφημήσωμεν, Αγγελήν θεοφόρον και Αθλητήν του Χριστού, εν εσχάτοις τοις καιροίς λαμπρώς αθλήσαντα, και εν ποικίλοις ετασμοίς, αναδειχθέντα αληθώς, της πίστεως Αθλοφόρον, και Χριστού του αγωνοθέτου, δούλον πιστόν και μιμητήν αληθώς.

Δόξα. Και νυν ... Θεοτοκίον.

Η θερμή προστασία και απροσμάχητος, η ελπίς η βεβαία και ακαταίσχυντος, τείχος και σκέπη και λιμήν των προστρεχόντων σοι, Αειπάρθενε αγνή, τον Υιόν σου και Θεόν, ικέτευε συν Αγγέλοις, ειρήνην δούναι τω κόσμω, και σωτηρίαν και μέγα έλεος.

Μετά την β' στιχολογίαν,

κάθισμα. Ήχος α' . Τον τάφον Σου Σωτήρ.

Τον Μάρτυρα Χριστού, Αγγελήν ευφημούμεν, αθλήσαντα στερρώς, εν καιροίς δυσχειμέροις, κηρύττοντα τοις πέρασι, του Χριστού την θεότητα, και δυσσέβειαν, Αγαρηνών των αθέων, απελέγχοντα, εν παρρησία αγία, δυνάμει του Πνεύματος.

Δόξα. Και νυν. Θεοτοκίον.

Μητέρα σε Θεού, επιστάμεθα πάντες, Παρθένον αληθώς, και μετά τόκον φανείσαν, οι πόθω καταφεύγοντες, προς την σην αγαθότητα· σε γαρ έχομεν, αμαρτωλοί προστασίαν· σε κεκτήμεθα, εν πειρασμοίς σωτηρίαν την μόνην πανάμωμον.

Μετά τον Πολυέλεον, κάθισμα. Ήχος δ’ . Κατεπλάγη Ιωσήφ.

Καταπλήττει δυσσεβείς, Αγαρηνούς ο Αθλητής, Αγγελής ο του Χριστού, Μάρτυς γενναίος και στερρός, ομολογία αθλήσει και παρρησία, δεύτε ουν πιστοί, ανυμνήσωμεν, ἀθλησιν αυτού και στερρότητα, και γεγηθότες Πνεύματι βοήσωμεν, εν εγκωμίοις και άσμασι· Χριστού οπλίτα, και στεφανίτα, σκέπε τους υμνητάς σου.

Δόξα. Και νυν… Θεοτοκίον.

Κατεπλάγησαν Αγνή, πάντες Αγγέλων οι χοροί, το Μυστήριον της σης, κυοφορίας το φρικτόν, πως ο τα πάντα συνέχων νεύματι μόνω, αγκάλαις ως βροτός, ταις σαις συνέχεται, και δέχεται αρχήν ο Προαιώνιος, και γαλουχείται σύμπασαν ο τρέφων, πνοήν αφάτω χρηστότητι, και σε ως όντως, Θεού Μητέρα, ευφημούντες δοξάζουσι.

Οι Αναβαθμοί, το α’ αντίφωνον του δ’ ἦχου.

Προκείμενον: Θαυμαστός ο Θεός εν τοις Αγίοις Αυτού.

Στ: Τοις Αγίοις τοις εν τη γη Αυτού εθαυμάστωσεν ο Κύριος.

Ευαγγέλιον (του Όρθρου της ΚΣΤ Ὀκτωβρίου.)

Ο Ν ψαλμός.

Δόξα: Ταις του Αθλοφόρου…

Και νυν: Ταις της Θεοτόκου…

Ιδιόμελον. Ήχος πλ. β’ . Στ.: Ελέησόν με ο Θεός…

Σήμερον, η Εκκλησία του Χριστού, την του Νεομάρτυρος Αγγελή, πανσεβάσμιον μνήμην τελούσα, εν ευφροσύνη και πνευματική ανατάσει, αυτώ εκβοώσα· χαίροις, Νεομαρτύρων το κλέος, και

Ομολογητών το εγκαλλώπισμα· χαίροις, των Ορθοδόξων το καύχημα, και των Αγαρηνών το πλήγμα· χαίροις, των Πρωτοτόκων σύνεδρος, και των Αγίων σύσκηνος. Μεθ’ ων πρέσβευε υπέρ των τιμώντων σε.

Είτα οι Κανόνες· της Θεοτόκου και του Αγίου, ου η ακροστιχίς: Στερρού Νεομάρτυρος υμνώ τους άθλους. Νικοδήμου.

Ωδή α’ . Ήχος πλ. δ . Υγράν διοδεύσας.

Σοφίαν του Πνεύματος εκζητώ, υμνήσαι αξίως, Νεομάρτυρα Αγγελήν, τον υπέρ Χριστού στερρώς τυθέντα, και εισελθόντα εις άνω Βασίλεια.

Τιμήσωμεν πάντες τον Αγγελήν, τον Χριστού οπλίτην, Νεομάρτυρα θαυμαστόν, εν ύμνοις ενθέων εγκωμίων, ως νικητήν αθεότητος τέλειον.

Εστέφθη ο Μάρτυς παρά Χριστού, νικήσας του κόσμου τα επίκηρα αγαθά, και πλάνην αθέων πολεμίων, και ομοζύγου βουλήν την αντίθεσιν.

Θεοτοκίον.

Ρητόρων η δύναμις ασθενεί, υμνήσαι αξίως τα Σα θαύματα Μαριάμ, και δόξαν ην έλαβες δικαίως, ως Μήτηρ ούσα Χριστού του Θεού ημών.

Ωδή γ’ . Ουρανίας αψίδος.

Ραδιούργων την πλάνην και απειλάς ένδοξε, χάριτι Κυρίου νικήσας, καθωμολόγησας, τον εν Τριάδι Θεόν, Δημιουργόν των απάντων, Ον υμνούσιν Άγγελοι, ομού και άνθρωποι.

Ομοζύγου οδύνην και συμβουλάς Άγιε, Πνεύματος αγίου δυνάμει, καλώς διώρθωσας, και εν αγάπη πολλή, ω Αγγελή την καρδίαν, της συζύγου έστρεψας, προς πίστιν ένθεον.

Υπομείνας γενναίως τους αικισμούς πάντιμε, και μαρτυρικώς τελειώσας, τον βίον έφθασας εις ουρανίους μονάς, κατεστεμμένος εν δόξη, καθορών τον Κύριον, Ον επεπόθησας.

Θεοτοκίον.

Νεανίδων Παρθένε και μοναχών καύχημα, και σεμνών μητέρων ο κόσμος, Μαρτύρων έδρασμα, ως Θεοτόκος αγνή, τους ευσεβείς περιφρούρει, Σαις λιταίς προς Κύριον, Θεομακάριστε.

Κάθισμα. Ήχος δ’ . Ταχύ προκατάλαβε.

Τον Μάρτυρα στέψωμεν εν εγκωμίων ωδαίς, και τούτου κηρύξωμεν μαρτυρικήν τελευτήν, και δόξαν την άφθιτον, χαίρων γαρ απεδέχθη, μαρτυρίου το τέλος, Πνεύματι καταισχύνας, αθεότητος πλάνην, αυτού Χριστέ ικεσίαις, σώσον τον κόσμον σου.

Δόξα. Και νυν. Θεοτοκίον

Η μόνη κυήσασα τον ποιητήν του παντός, η μόνη κοσμήσασα την ανθρωπότητα, τω τόκω σου Άχραντε, ρύσαί με των παγίδων, του δολίου Βελίαρ, στήσόν με επί πέτραν, των Χριστού θελημάτων, αυτόν εκδυσωπούσα εκτενώς, ον εσωμάτωσας.

Ωδή δ’ . Εισακήκοα Κύριε.

Ευσεβείας το πρότυπον, και ομολογίας το εγκαλλώπισμα, Αγγελή θεομακάριστε, ανεδείχθης χάριτι του Πνεύματος.

Ουρανού επεπόθησας, τον σαββατισμόν και την αγαλλίασιν, Αγγελή Μαρτύρων σύσκηνε, και του Θεανθρώπου όντως σύνεδρε.

Μαρτυρίου τον στέφανον, είληφας αξίως Μαρτύρων άγαλμα, Αγγελή πιστών το στήριγμα, και προς Κύριον πρέσβυ θερμότατε.

Θεοτοκίον.

Απειράνδρως Θεόνυμφε, Λόγον εν γαστρί Σου εκυοφόρησας, και Θεάνθρωπον εγέννησας, τον βροτοίς την άφεσιν δωρούμενον.

Ωδή ε' . Φώτισον ημάς.

Ρήματα ζωής, εν καρδία έχων Άγιε, και Βασιλείας πόθον ω Αγγελή, του μαρτυρίου εδέξω τιμήν πανεύφημε.

Τήρησον ημάς, εν αγάπη προς τον Κύριον, ταις προς Αυτόν λιταίς σου ω Αγγελή, και εν ειρήνη και πίστει θεομακάριστε.

Ύψωσον τον νουν, προς τα άνω των τιμώντων σε, και τας καρδίας πάντων προς τον Θεόν, ω Νεομάρτυς, πρεσβεύων προς τον Φιλάνθρωπον.

Θεοτοκίον.

Ρήτορες σιγής, των ιχθύων αφωνότεροι, εν Σοι εδείχθησαν Παρθένε αγνή, εμμελετώντες, το θαύμα της Σης συλλήψεως

Ωδή στ' . Την δέησιν.

Ο Κύριος, εν Αγίοις έταξεν, Αγγελή την σην ψυχήν θεοφόρε, ότι καλώς, ηγωνίσθης εν κόσμω, και ωμολόγησας πίστιν την ένθεον, ενώπιον Αγαρηνών, και αθέων μη πτήξας το φρόνημα.

Συ ήσχυνας, ασεβών το φρόνημα, και αθέων δυσσεβών επιθέσεις, ότι εν σοι, κατεσκήνωσεν όντως, του Παρακλήτου η χάρις

πανένδοξε, και γέγονας ω Αγγελή, μαρτυρίας το κλέος και καύχημα.

Υπέρτερος, δυσσεβών συ γέγονας, Αγγελή ομολογία αγία, και του Χριστού, αφομοίωμα θείον, και Πρωτοτόκων Μαρτύρων αντίγραφον, διο ηξίωσαι κλεινέ, του λαβείν εκ Θεού στέφος άφθαρτον.

Θεοτοκίον.

Μεσότοιχον, αμαρτίας πέπτωκεν, Θεοτόκε τη σαρκώσει του Λόγου, ότι Θεόν, εν βροτοίς επεφάνη, και τω Σταυρώ τοις ανθρώποις δεδώρηται, την λύτρωσιν εκ των παθών, και ειρήνην ψυχής αναφαίρετον.

Κοντάκιον. Ήχος πλ. δ' . Τη Υπερμάχω.

Τον Νεομάρτυρα ωδαίς εγκωμιάσωμεν, ομολογήσαντα Θεόν τον Τρισυπόστατον, Αγγελήν τον θεοτίμητον αριστέα, Αγαρηνούς γαρ μαρτυρίω εταπείνωσε, και εν αίματι την πίστιν εστερέωσεν, όθεν έλαβε, στέφος δόξης αμάραντον.

Ο Οίκος.

Η του Χριστού Εκκλησία ευφραινομένη, την του Νεομάρτυρος Αγγελή, πανεύφημον μνήμην λαμπροφόρως επιτελεί. Ούτος γαρ στερρώς εμμένων, εν τη της αληθείας ομολογία, και κατανικήσας πάσας τας των δυσσεβών Αγαρηνών μηχανάς, και τας του αντιδίκου βελίαρ ενέδρας, υπέρ της ορθοδόξου πίστεως την κεφαλήν απετμήθη· όθεν εις την άνω Ιερουσαλήμ ανελθών, και

συγκάθεδρος των πρωτοτόκων Μαρτύρων γενόμενος, έλαβε στέφος δόξης αμάραντον.

Συναξάριον

Τη Α’ του αυτού Μηνός, ο Άγιος νεομάρτυς Αγγελής ο εν Κωνσταντινουπόλει μαρτυρήσας κατά το 1680 ξίφει τελειούται.

Ωδή ζ’ . Οι εκ της Ιουδαίας.

Νικητήν καθορώντες σαις λιταίς εκζητούμεν προς τον Χριστόν Αγγελή, δεήθητι σωθήναι, τους σε επευφημούντας και βοώντας εκ πίστεως· Ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Ως αι θείαι δυνάμεις και χοροί των Μαρτύρων συνεορτάζουσιν νυν, ορώντες εν Αγίοις, τον νέον Αθλοφόρον, και ημείς εκβοήσωμεν· Ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Την του Πνεύματος χάριν Αγγελής ο θεόφρων υπεραφθόνως λαβών, τη πίστει της Τριάδος, εστήριξεν εν έργοις, τους πιστώς Θεώ μέλποντας· Ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Θεοτοκίον.

Οπτικόν της καρδίας αποκάθαρον πάντων Θεοκυήτορ σεμνή, και πύλην μετανοίας, υπάνοιξον Παρθένε, τοις βοώσι προς Κύριον· Ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Ωδή η’ . Τον Βασιλέα.

Υμνολογούντες, του Αγγελή μαρτυρίαν, μιμησώμεθα τούτου τους άθλους, τον Χριστόν τιμώντες, εις πάντας τους αιώνας.

Συ εκνικήσας, Αγαρηνών δυσσεβείας, Αγγελή ορθοδόξοις κηρύττεις, τον Χριστόν υμνείτε, εις πάντας τους αιώνας.

Ανακηρύττεις, Τριαδικήν Μοναρχίαν, Αγγελή παρρησία αθέοις, την ανυμνουμένην, εις πάντας τους αιώνας.

Θεοτοκίον.

Θεοκυήτορ, ως υπερτέρα απάντων, δευτερεία Τριάδος κατέχεις, ης την θείαν δόξαν, υμνείς εις τους αιώνας.

Ωδή θ’ . Κυρίως Θεοτόκον.

Λαόν της Εκκλησίας, φύλαττε ω Μάρτυς, εξ επηρείας δαιμόνων και νόσων δεινών, ταις προς Χριστόν ικεσίαις σου θεοδόξαστε.

Οι πόθω ανυμνούντες, σην ομολογίαν, ω Αγγελή Νεομάρτυς Χριστόν τον Θεόν, δοξολογούσιν απαύστως και μεγαλύνουσιν.

Υμνήσωμεν αξίως, Νέον Αθλοφόρον, φιλομαρτύρων ο δήμος εν θείαις ωδαίς, ανακηρύττοντες τούτου τα αγωνίσματα.

Θεοτοκίον.

Σεμνή Παρθενομήτορ, Σε ομολογούμεν, ως Παναγίαν Μητέρα Χριστού του Θεού, και Ορθοδόξων προστάτιν και καταφύγιον.

Εξαποστειλάριον. Γυναίκες ακουτίσθητε.

Την πλάνην αθεότητος, κατήσχυνεν ο ένθεος, πίστιν Χριστού δε τοις πάσι, λαμπρώς εκήρυξεν έργω, χάριτι απαρνούμενος, της ζωής τα επίκηρα, δόξαν δε την ουράνιον, απολαμβάνων απαύστως, ο Αγγελής ο θεόφρων.

Θεοτοκίον.

Μαρίαν την Θεόνυμφον, την τέξασαν τον Κύριον, πάντες εκ πόθου τιμώμεν, ζωής γαρ γέγονε Μήτηρ, τράπεζα άρτον φέρουσα, λυχνία

η φωτίζουσα, σκέπη δε κατασκέπουσα, πιστών Χριστού τας καρδίας, υπάρχει η Θεοτόκος.

Αίνοι. Ήχος πλ. β’ . Όλην αποθέμενοι.

Πάντες Νεομάρτυρα, και Αθλοφόρον Κυρίου, εν ωδαίς υμνήσωμεν, φιλαγίων σύστημα και τιμήσωμεν, ευκλεώς ήθλησεν, εν εσχάτοις χρόνοις, αικισμούς φαιδρώς υπήνεγκεν, και καθυπέμεινε, χάριτι τη θεία σθενούμενος, διο και κατηξίωται, ζωής της αιωνίου και κρείττονος, όθεν ικετεύει, απαύστως τον Χριστόν υπέρ ημών, του οικτειρήσαι ως εύσπλαγχνον, βροτούς αμαρτάνοντας. (Δις)

Δεύτε Νεομάρτυρα, τον Αγγελήν θεοφρόνως, χριστοφόρων κόσμημα, εγκωμίων άνθεσι καταστέψωμεν, ευθαρσώς ήθλησεν, υπέρ αληθείας, τας βασάνους χαίρων ήνεγκε, και απεδέξατο, Πνεύματι Αγίω μαρτύριον, φωτί δε θείω σκήνωμα, ο αγωνοθέτης τετίμηκεν, όθεν ο θεόφρων, ενδόξως εν Μαρτύρων τοις χοροίς, συνυπηχεί τούτοις μέλπουσιν, ύμνον επινίκιον.

Πόθω Νεομάρτυρα, τον Αγγελήν θεοδέκτοις, εν ωδαίς υμνήσωμεν, και αυτού εκτύπωμα ασπασώμεθα, τον σταυρόν ήρε γαρ, εν χαρά και ζήλω, και Χριστόν καθωμολόγησε, Θεόν και Κύριον, και του κόσμου όντως κοσμήτορα, πιστούς δε εκραταίωσεν, εν Χριστού τη πίστει αθλήσει τε, Ου ταις ικεσίαις, φιλάνθρωπε του κόσμου Λυτρωτά, μετανοείν καθοδήγησον, τους αυτόν γεραίροντας.

Δόξα. Ήχος πλ. β’ .

Εν ύμνοις και ωδαίς πνευματικαίς, την του Νεομάρτυρος Αγγελή πανσεβάσμιον μνήμην, αδελφοί τιμήσωμεν. Ούτος γαρ εν δυσχειμέροις χρόνοις, δια του σεπτού αυτού μαρτυρίου, φύλαξ, φρουρός και κήρυξ της αμωμήτου και σωτηρίου ημών γέγονε πίστεως. Της δε δυσσεβούς των Αγαρηνών πλάνης, το άθεον και μάταιον, τη σθεναρά ομολογία κατέδειξεν. Αυτού και ημείς ταις λιταίς, του θείου ελέους αξιωθείημεν.

Δοξολογία Μεγάλη και Απόλυσις.

Μεγαλυνάριον.

Δεύτε ευφημήσωμεν ευλαβώς, Αγγελήν γενναίον, Νεομάρτυρα του Χριστού, τον ομολογία, στερρά και μαρτυρίω, κηρύξαντα αθέοις Θεόν Τρισάγιον.

